# IV.

# Traduction et commentaire de l'opuscule de saint Thomas d'Aquin: „De Ente et Essentia".

## A. Traduction.

Misc. Oxon. 275, f. 278 *ΤΟΥ ΘΩΜΑ, ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΟΥΣΙΑΣ ΚΑΙ ΤΟΥ ΕΙΝΑΙ ἙΡΜΗΝΕΥΘΕΝ ΚΑΙ ΠΡΟΣ ΤΗΝ Ἑ̔ΛΛΑΔΑ ΜΕΤΕΝΕΧΘΕΝ ΓΛΩΤΤΑΝ ΠΑΡΑ ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ.**

### Prologue.**

1. Ἐπειδὴ „ἡ μικρὰ πλάνη ἐν τῇ ἀρχῇ μεγάλη ἐστὶν ἐν τῷ τέλει", κατὰ τὸν Φιλόσοφον ἐν τῷ πρώτῳ τοῦ περὶ οὐρανοῦ καὶ κόσμου, τὸ δὲ ὂν καὶ ἡ οὐσία εἰσὶν ἃ πρώτως ἐν τῷ νῷ συλλαμβάνονται, ὥς φησιν Ἀβινσένας ἐν τῇ μετὰ τὰ φυσικὰ αὐτοῦ πραγματείᾳ, διὰ τοῦτο ἵνα μὴ ἐκ τῆς ἀγνοίας αὐτῶν πλανᾶσθαι συμβαίνῃ, πρὸς τὸ λῦσαι τὴν περὶ αὐτὰ ἀπορίαν τε καὶ δυσχέρειαν, ῥητέον ἐστὶ τί τῷ ὀνόματι τῆς οὐσίας καὶ τοῦ ὄντος σημαίνεται, καὶ πῶς ἐν διαφόροις εὑρίσκονται, καὶ

* A = Miscellaneus Oxoniensis 275, f. 278-288, copie autographe de Scholarios;
B = Parisinus Suppl. 618, f. 9-19, copie autographe de Scholarios; (le début manque; le texte commence à la fin du chapitre I, p. 156, l. 7: *σημαίνειν τὴν οὐσίαν τοῦ πράγματος*); il y aussi d'autres lacunes;
C = Scorialensis Y. III. 13, f. 11-27, copie autographe de Scholarios;
D = Palatinus 235, f. 304v-318v, copie autographe de Scholarios.

C et D représentent une première rédaction. Cette première rédaction, d'abord reproduite telle quelle, à part quelques variantes insignifiantes, dans A et B, a été corrigée ensuite par l'auteur. Toutes les variantes de CD, ou à peu près, se trouvent donc, mais effacées, dans A et B, qui donnent la rédaction définitive.

Tit. C: *† Θωμᾶ ντε Ἀκίνο περὶ τοῦ εἶναι καὶ τῆς οὐσίας ἢ περὶ τοῦ ὄντος καὶ τοῦ τί ἦν εἶναι· ἀπὸ τοῦ λατινικοῦ ἑρμηνευθὲν παρὰ τοῦ σοφωτάτου καὶ λογιωτάτου Γεωργίου τοῦ Σχολαρίου, εἶτα καὶ ἐξηγηθέν.* — D: Thomae Aquinatis opusculum *De ente et essentia*, titre grec omis.

** Nous reproduisons les divisions et les subdivisions de l'édition de J. Sestili, *S. Thomae Aquinatis, doctoris angelici, opusculum de ente et essentia, Turin, 1926*, la traduction grecque n'en présentant aucune.

6 *τοῦ* om CD 10 *καὶ πῶς ἐν διαφόροις εὑρίσκονται* om CD, en marge dans A

πῶς ἔχουσι πρὸς τὰς λογικὰς ἐπινοίας, δηλονότι τὸ γένος, τὸ εἶδος καὶ τὰς διαφοράς.

2. Ἐπειδὴ δὲ ἐκ τῶν συνθέτων τὴν τῶν ἁπλῶν γνῶσιν λαμβάνειν ὀφείλομεν, καὶ ἐκ τῶν ὑστέρων εἰς τὰ πρότερα καταντᾶν, ὡς ἂν ἀπὸ τῶν προχειροτέρων ῥᾴων καὶ ἁρμοδιωτέρα γίνοιτο ἡ διδασκαλία ἢ ἡ μάθησις, διὰ τοῦτο ἐκ τῆς σημασίας τοῦ ὄντος πρὸς τὴν τῆς οὐσίας σημασίαν δεῖ προχωρεῖν.

## Chapitre I.

1. Δεῖ τοίνυν εἰδέναι ὅτι, ὡς ἐν τῷ πέμπτῳ τῶν μετὰ τὰ φυσικὰ φησὶν ὁ Φιλόσοφος, τὸ ὂν καθ' αὑτὸ διχῶς λέγεται· ἕνα μὲν τρόπον, τὸ διαιρούμενον εἰς τὰ δέκα γένη· ἄλλον δέ, τὸ σημαῖνον τῆς προτάσεως τὴν ἀλήθειαν. Τούτων δὲ διαφορά ἐστιν, ὅτι κατὰ τὸν δεύτερον τρόπον δύναται λέγεσθαι ὂν περὶ οὗ ἡ καταφατικὴ πρότασις μορφοῦσθαι δύναται, κἂν μὴ φυσικῶς ἐκεῖνο τίθῃ ἡ τοιαύτη πρότασις, καθ' ὃν τρόπον αἱ στερήσεις καὶ ἀποφάσεις ὄντα λέγονται· λέγομεν γὰρ ὅτι ἡ ἀπόφασις ἀντικειμένη ἐστὶ τῇ καταφάσει, καὶ ὅτι ἡ τυφλότης ἐστὶν ἐν τῷ ὀφθαλμῷ. Ἀλλὰ κατὰ τὸν πρῶτον τρόπον οὐ δύναταί τι λέγεσθαι ὄν, εἰ μὴ τὸ τιθέν τι ἐν τῷ πράγματι· ὅθεν κατ' ἐκεῖνον τὸν τρόπον ἡ τυφλότης καὶ τὰ τοιαῦτα οὐ λέγονται ὄντα. Τὸ τοίνυν ὄνομα τῆς οὐσίας οὐ λαμβάνεται ἐκ τοῦ ὄντος κατὰ τὸν δεύτερον τρόπον· ἔνια γὰρ τούτῳ τῷ τρόπῳ ὄντα λέγονται, ἅπερ οὐσίαν οὐκ ἔχουσιν, ὡς ἐπὶ τῶν στερήσεων φαίνεται, ἀλλ' ἡ οὐσία λαμβάνεται ἐκ τοῦ ὄντος κατὰ τὸν πρῶτον τρόπον τὸν εἰρημένον, καθὼς ὁ Ὑπομνηματιστὴς ἐν τῷ αὐτῷ μέρει φησίν, ὅτι ὂν λέγεται κατὰ πρῶτον τρόπον, τὸ σημαῖνον τὴν οὐσίαν τοῦ πράγματος.

2. Καὶ ἐπειδή, ὡς εἴρηται, τὸ ὂν τούτῳ τῷ τρόπῳ λεγόμενον διαιρεῖται εἰς τὰ δέκα γένη, δεῖ τὴν οὐσίαν σημαίνειν κοινόν τι πάσαις ταῖς φύσεσι, δι' ὧν τὰ διάφορα ὄντα ἐν διαφόροις γένεσί τε καὶ εἴδεσι τάττονται, ὥσπερ ἡ ἀνθρωπότης ἐστὶν οὐσία τοῦ ἀνθρώπου, ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Καὶ διότι τὸ δι' οὗ πρᾶγμά τι καθίσταται ἐν τῷ ἰδίῳ γένει ἢ εἴδει ἐστὶ τὸ διὰ τοῦ ὁρισμοῦ σημαινόμενον, τοῦ σημαίνοντος τί ἐστι τὸ πρᾶγμα, δεῖ θεωρεῖν, ὅτι τὸ τῆς οὐσίας ὄνομα παρὰ τῶν φιλοσόφων | εἰς τὸ ὄνομα τῆς ὀντότητος ἢ ὑπάρξεως μεταλαμβάνεται, καὶ τοῦτ' ἔστιν f. 278v ὃ συνεχῶς ὁ Φιλόσοφος ὀνομάζει τὸ τί ἦν εἶναι, τουτέστι τὸ δι' οὗ τὶ ἔχει τὸ εἶναι· ὃ δὴ καὶ εἶδος λέγεται, καθὸ διὰ τοῦ εἴδους σημαίνεται ἡ ἀλήθεια ἑκάστου, ὡς Ἀβινσένας φησὶν ἐν τῇ αὐτοῦ φυσικῇ. Τοῦτο δὲ ἄλλον τρόπον καὶ φύσις λέγεται, λαμβανομένης τῆς φύσεως κατὰ τὸν

---

**24** *ὁ Ὑπομνηματιστής* = **Averroès, in 5 Metaphys. text. 14** **25** *κατὰ πρῶτον τρόπον* **om CD** **28** *ὄντα: εἴδη* **CD** **30** *τὶ πρᾶγμα* **CD**. **24-35** *τὶ ἔχει* **sic codd.**

πρῶτον ἐκείνων τῶν τεσσάρων τρόπων, οὓς ὁ Βοήτιος ἐν τῷ περὶ δύο φύσεων βιβλίῳ ἀποδίδωσι, δηλονότι καθὸ φύσις λέγεται εἶναι τὸ ὁπωσδήτινι τρόπῳ ὑπὸ τοῦ νοῦ λαμβάνεσθαι δυνάμενον· οὐ γάρ ἐστι τὸ πρᾶγμα νοητόν, εἰ μὴ διὰ τοῦ ὁρισμοῦ καὶ τῆς οὐσίας αὐτοῦ· οὕτω δὲ καὶ ὁ Φιλόσοφος φησὶν ἐν τῷ πέμπτῳ τῶν μετὰ τὰ φυσικά, ὅτι πᾶσα οὐσία φύσις ἐστίν. Κἀντεῦθεν, τοὔνομα τῆς φύσεως τούτῳ τῷ τρόπῳ λαμβανομένης δοκεῖ σημαίνειν τὴν οὐσίαν τοῦ πράγματος καθὸ τάξιν ἔχει πρὸς τὴν ἰδίαν ἐνέργειαν τοῦ πράγματος, ἐπειδὴ οὐδὲν πρᾶγμα ἰδίας ἐνεργείας ἔρημον ἐστίν. Τὸ μὲν οὖν τῆς ὀντότητος ὄνομα εἴτουν ὑπάρξεως λαμβάνεται ἐκ τοῦ δηλοῦσθαι δι' ὁρισμοῦ· ἡ δὲ οὐσία λέγεται καθὸ δι' αὐτῆς καὶ ἐν αὐτῇ τὸ ὂν ἔχει τὸ εἶναι.

## Chapitre II.

1. Ἀλλ' ἐπεὶ τὸ ὂν ἀπολελυμένως καὶ πρώτως περὶ τῶν οὐσιῶν λέγεται, ὑστέρως δὲ καὶ ὡσανεὶ πῇ περὶ τῶν συμβεβηκότων, ἐντεῦθεν ἐστὶ καὶ τὸ τὴν οὐσίαν κυρίως μὲν καὶ ἀληθῶς εἶναι ἐν οὐσίαις, ἀλλ' ἐν τοῖς συμβεβηκόσι τρόπῳ τινὶ καὶ πῇ.

2. Τῶν οὐσιῶν δὲ τινὲς μέν εἰσιν ἁπλαῖ, τινὲς δὲ σύνθετοι· ἐν ἀμφοτέραις γοῦν ἐστιν ἡ οὐσία· ἀλλ' ἐν ταῖς ἁπλαῖς ἀληθεστέρῳ καὶ βελτίονι τρόπῳ, καθὸ τὸ εἶναι εὐγενέστερον ἔχουσιν· εἰσὶ γὰρ αἰτίαι τῶν συνθέτων, τοὐλάχιστον ἡ πρώτη καὶ ἁπλῆ οὐσία, ἥ ἐστιν ὁ Θεός.

3. Ἀλλὰ διότι τῶν οὐσιῶν ἐκείνων αἱ οὐσίαι εἰσὶν ἡμῖν μᾶλλον ἄδηλοι, διὰ τοῦτο ἐκ τῶν οὐσιῶν τῶν συνθέτων ἄρχεσθαι δεῖ, ὡς ἂν ἐκ τῶν εὐκολωτέρων οἰκειοτέρα ἡ μάθησις γένοιτο. Ἐν ταῖς συνθέτοις τοίνυν οὐσίαις τό τε εἶδος καὶ ἡ ὕλη φανερά εἰσιν, ὡς ἐν τῷ ἀνθρώπῳ ἡ ψυχὴ καὶ τὸ σῶμα. Οὐ δυνατὸν δὲ λέγειν, ὅτι θάτερον αὐτῶν οὐσία εἶναι λέγεται· ὅτι γὰρ ἡ ὕλη μόνη τοῦ πράγματος οὐκ ἔστιν οὐσία, σαφές ἐστιν διότι τὸ πρᾶγμα διὰ τῆς οὐσίας αὐτοῦ καὶ γνωστόν ἐστι καὶ ἐν τῷ ἰδίῳ εἴδει δύναται τάττεσθαι, ἢ ἐν τῷ γένει· ἡ δὲ ὕλη οὔτε γνώσεως ἀρχή ἐστιν, οὔτε κατὰ ταύτην τάττεταί τι ἐν γένει ἢ εἴδει, ἀλλὰ κατ' ἐκεῖνο, ὅπερ ἐνεργείᾳ τί ἐστιν. Οὔτε δὲ τὸ εἶδος μόνον οὐσία τῆς συνθέτου φύσεως ἢ οὐσίας ῥηθῆναι δύναται, εἰ καί τινες τοῦτο πειρῶνται διϊσχυρίζεσθαι.

Ἐκ τῶν εἰρημένων τοίνυν φαίνεται, ὅτι οὐσία ἐστὶ τὸ διὰ τοῦ ὁρισμοῦ σημαινόμενον. Ὁ δὲ τῶν ἐνύλων οὐσιῶν ὁρισμὸς οὐ τὸ εἶδος μόνον περιέχει, | f. 279 ἀλλὰ καὶ τὴν ὕλην· ἄλλως γὰρ οἵ τε φυσικοὶ ὁρισμοὶ καὶ οἱ μαθηματικοὶ οὐκ ἂν διήνεγκαν, οὐδὲ δύναται λέγεσθαι, ὅτι ἡ ὕλη ἐν τῷ ὁρισμῷ

---

9 *ἔρημον* avant *ἰδίας* CD 15 *πῇ* sic codd. dans tout l'opuscule 20 *αἴτιοι* CD, effacé dans AB et remplacé par *αἰτίαι* 24 *εὐκολωτέρα* CD

Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τῆς φυσικῆς οὐσίας τίθεται ὥσπερ τις προσθήκη τῇ οὐσίᾳ αὐτῆς, ἥ ἐστιν ὂν ἔξω τῆς ὑπάρξεως αὐτῆς, διότι οὗτος ὁ τρόπος τοῦ ὁρισμοῦ ἴδιος ἐστὶ τῶν συμβεβηκότων, ἅπερ οὐσίαν τελείαν οὐκ ἔχουσιν· ὅθεν ἐν τῷ ὁρισμῷ αὐτῶν δεῖ τίθεσθαι τὸ ὑποκείμενον, ὅπερ ἐστὶν ἔξω τοῦ γένους αὐτῶν. Φανερὸν οὖν ὅτι ἡ οὐσία συμπεριλαμβάνει τὴν ὕλην καὶ τὸ εἶδος.

4. Οὐ δύναται δὲ λέγεσθαι, ὅτι σημαίνει ἀναφορὰν μεταξὺ οὖσαν τῆς ὕλης καὶ τοῦ εἴδους, ἤ τι ὥσπερ ἐπεισόδιον αὐτῶν, διότι ἦν ἂν ἐξ ἀνάγκης συμβεβηκὸς καὶ ἔξω τοῦ πράγματος, οὐδὲ δι' αὐτοῦ τὸ πρᾶγμα ἐγινώσκετ' ἄν, ἃ παντάπασι τῇ οὐσίᾳ οὐχ ἁρμόζουσι· διὰ γὰρ τοῦ εἴδους, ὅπερ ἐστὶν ἐντελέχεια τῆς ὕλης, καὶ ἡ ὕλη ἀποτελεῖται πρᾶγμα ἐνεργείᾳ καὶ τόδε τι· ὅθεν, εἴ τι αὐτοῖς ἐπεισέρχεται, οὐ δίδωσι τὸ εἶναι ἐνεργείᾳ τῇ ὕλῃ ἁπλῶς, ἀλλὰ τὸ εἶναι ἐνεργείᾳ τοιοῦτον, ὥσπερ καὶ τὰ συμβεβηκότα ποιοῦσιν, ὥσπερ ἡ λευκότης ποιεῖ εἶναι ἐνεργείᾳ λευκόν. Ὅθεν καὶ ὅταν τὸ τοιοῦτον εἶδος προσλαμβάνηται, οὐ λέγεται γεννᾶσθαι ἢ γίνεσθαι τὸ πρᾶγμα ἁπλῶς, ἀλλὰ κατά τι.

5. Λείπεται τοίνυν τὸ ὄνομα τῆς οὐσίας ἐν ταῖς συνθέτοις οὐσίαις σημαίνειν τὸ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους συγκείμενον. Καὶ τούτῳ συμφωνεῖ τὸ τοῦ Βοητίου ἐν τῷ εἰς τὰς κατηγορίας ὑπομνήματι, ὅπου φησίν, ὅτι ἡ οὐσία σημαίνει τὸ σύνθετον· οὐσία γὰρ παρὰ Γραικοῖς ταὐτόν ἐστιν ὅπερ ἐσσέντια, τουτέστιν ὕπαρξις παρ' ἡμῖν, ὡς αὐτὸς αὖθις φησὶν ἐν τῷ περὶ τῶν δύο φύσεων βιβλίῳ. Λέγει δὲ καὶ Ἀβινσένας, ὅτι ἡ τῶν συνθέτων οὐσιῶν ὕπαρξις αὐτή ἐστιν ἡ τῆς ὕλης καὶ τοῦ εἴδους σύνθεσις· καὶ Ἀβερόης ἐπὶ τῷ ἑβδόμῳ τῶν μετὰ τὰ φυσικά· „Ἡ φύσις, φησίν, ἣν ἔχουσι τὰ εἴδη ἐν τοῖς γεννητοῖς πράγμασι, μέσον τί ἐστι, τουτέστι σύνθετον ἐξ ὕλης καὶ εἴδους". Τούτῳ δὲ καὶ ὁ λόγος συμφωνεῖ, διότι τὸ εἶναι τῆς συνθέτου οὐσίας οὐκ ἔστι μόνον τοῦ εἴδους, οὔτε μόνον τῆς ὕλης, ἀλλ' αὐτοῦ τοῦ συνθέτου· οὐσία δέ ἐστι καθ' ἣν τὸ πρᾶγμα εἶναι λέγεται. Ὅθεν δεῖ τὴν οὐσίαν, ᾗ τὸ πρᾶγμα ὀνομάζεται ὄν, μὴ μόνον εἶναι τὸ εἶδος, μηδὲ μόνην τὴν ὕλην, ἀλλ' ἄμφω, εἰ καὶ ταύτης τῆς οὐσίας μόνον τὸ εἶδος ἐστὶν αἰτία· οὕτω γὰρ κἂν τοῖς ἄλλοις ὁρῶμεν τοῖς ἐκ πλειόνων συνισταμένοις ἀρχῶν, ὅτι τὸ πρᾶγμα οὐ παρονομάζεται ἐκ τῆς ἑτέρας τῶν ἀρχῶν μόνον, ἀλλ' ἐξ ἐκείνου, ὅπερ ἀμφότερα συμπεριλαμβάνει, ὡς δῆλον ἐστὶν ἐπὶ τῶν χυμῶν, διότι ἐκ τῆς τοῦ θερμοῦ ἐνεργείας διαφοροῦντος τὸ ὑγρὸν γίνεται ἡ γλυκύτης. Εἰ γοῦν | καὶ ἡ θέρμη τούτῳ τῷ τρόπῳ αἰτία ἐστὶ f. 279v
τῆς γλυκύτητος, οὐ παρονομάζεται ὅμως τὸ σῶμα τὸ γλυκὺ ἀπὸ τῆς θέρμης, ἀλλ' ἀπὸ τοῦ χυμοῦ, τοῦ τὸ θερμὸν καὶ ὑγρὸν συμπεριλαμβάνοντος.

---

11 *τόδέ τι* codd. 20 *ἐσέντζια* CD *τουτέστιν ὕπαρξις*, semble avoir été effacé dans B 22 *ὕπαρξις*: *οὐσία* B, corrigé, semble-t-il de *ὕπαρξις* 23 à partir de *τῷ ἑβδόμῳ*, ce qui suit jusqu'à la p. 163, l. 9, manque dans B 35 *τῆς* avant *θέρμης*: *τοῦ* CD 36 *τὸ ὑγρὸν* CD

Ε.Υ.Δ. ... Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

6. Ἀλλὰ διὰ τὸ τῆς ἀτομότητος ἀρχὴν εἶναι τὴν ὕλην, δόξειεν ἂν ἴσως ἕπεσθαι τὸ καὶ τὴν οὐσίαν, ἥτις τὴν ὕλην ἐν ἑαυτῇ ἅμα καὶ τὸ εἶδος περιλαμβάνει, μερικὴν εἶναι μόνον, καὶ οὐ καθόλου· ἐξ οὗ εἴπετ' ἂν τὰ καθόλου ὁρισμὸν μὴ ἔχειν, εἴπερ οὐσία ἐστὶ τὸ διὰ τοῦ ὁρισμοῦ σημαινόμενον. Καὶ διὰ τοῦτο εἰδέναι δεῖ, ὅτι ἡ ὕλη οὐ παντὶ τρόπῳ λαμβανομένη ἐστὶν ἀρχὴ τῆς ἀτομότητος, ἀλλὰ μόνον ἡ σεσημειωμένη ὕλη· καλῶ δὲ σεσημειωμένην ὕλην, τὴν ὑπὸ διαστάσεσιν ὡρισμέναις θεωρουμένην. Αὕτη δὲ ἡ ὕλη ἐν τῷ ὁρισμῷ τοῦ ἀνθρώπου καθόσον ἐστὶν ἄνθρωπος οὐ τίθεται, ἀλλ' ἐτίθετο ἂν ἐν τῷ ὁρισμῷ τοῦ Σωκράτους, εἴπερ ὁ Σωκράτης ὁρισμὸν εἶχεν· ἐν δὲ τῷ ὁρισμῷ τοῦ ἀνθρώπου τίθεται ὕλη οὐ σεσημειωμένη· οὐ γὰρ ἐν τῷ ὁρισμῷ τοῦ ἀνθρώπου τίθεται τοῦτο τὸ ὀστοῦν, ἢ ἥδε ἡ σάρξ, ἀλλ' ὀστοῦν καὶ σὰρξ ἀπολελυμένως, ἅπερ εἰσὶν ὕλη τοῦ ἀνθρώπου ἀσήμαντος.

## Chapitre III.

1. Οὕτω τοίνυν δῆλον ἐστίν, ὅτι ἡ οὐσία τοῦ ἀνθρώπου καὶ ἡ οὐσία τοῦ Σωκράτους οὐ διαφέρουσιν εἰ μὴ κατὰ τὸ σεσημασμένον καὶ οὐ σεσημασμένον. Ὅθεν καὶ Ἀβερόης φησὶν ἐπὶ τῷ ἑβδόμῳ τῶν μετὰ τὰ φυσικά· „Ὁ Σωκράτης οὐδὲν ἄλλο ἐστὶν ἢ ζωότης καὶ λογικότης, ἃ εἰσὶν ἡ ὀντότης εἴτουν ἡ ὕπαρξις αὐτοῦ". Οὕτω καὶ ἡ οὐσία τοῦ γένους καὶ τοῦ εἴδους κατὰ τὸ σεσημασμένον καὶ οὐ σεσημασμένον διαφέρουσιν, εἰ καὶ ἄλλος ἐστὶν ὁ τρόπος τῆς σημασίας ἐν ἑκατέρῳ, διότι ἡ μὲν τοῦ ἀτόμου τῇ πρὸς τὸ εἶδος ἀποβλέψει δι' ὕλης ἀφωρισμένης τρισὶ διαστάσεσιν, ἡ δὲ τοῦ εἴδους τῇ πρὸς τὸ γένος ἀποβλέψει ἐστὶ διὰ συστατικῆς διαφορᾶς, ἥτις ἐκ τοῦ εἴδους λαμβάνεται τοῦ πράγματος. Αὕτη δὲ ἡ σημασία ἢ ὁ ἀφορισμός, ὅς ἐστιν ἐν τῷ εἴδει τῇ πρὸς τὸ γένος ἀποβλέψει, οὐκ ἔστι τὶ ἐν τῇ οὐσίᾳ τοῦ εἴδους, ὅπερ οὐδενὶ τρόπῳ ἐστὶ κἂν τῷ γένει· εἴ τι γάρ ἐστιν ἐν τῷ εἴδει, κἂν τῷ γένει ἐστὶν ὡς ἀδιορίστῳ. Εἰ γὰρ τὸ ζῷον μὴ ἦν ὅλον ὅπερ ἐστὶν ὁ ἄνθρωπος, ἀλλὰ μέρος αὐτοῦ, οὐκ ἂν κατηγορεῖτο κατ' αὐτοῦ, ἐπεὶ οὐδὲν μέρος τοῦ ὁλοκλήρου λεγομένου ὅλου κατὰ τοῦ ἰδίου ὅλου κατηγορεῖται.

Τοῦτο δὲ πῶς ἂν συμβαίνοι, θεωρεῖσθαι δύναται, ἂν θεωρηθῇ πῶς διαφέρει τὸ σῶμα καθό τε τίθεται μέρος τοῦ ζῴου, καὶ καθὸ τίθεται γένος· οὐ γὰρ δύναται τῷ αὐτῷ τρόπῳ εἶναι γένος, ᾧ καὶ μέρος ἐστὶν ὁλοκληρίας. Τοῦτο τοίνυν τὸ ὄνομα τὸ σῶμα πολλαχῶς λαμβάνεσθαι δύναται· τὸ γὰρ σῶμα, καθό ἐστιν ἐν τῷ γένει τῆς οὐσίας, λέγεται ἐκ

---

7 *σεσημειωμένην ἢ σεσημασμένην* en marge A  19 *φησὶν* après *Σωκράτης* add CD  23 *ἐστὶ* avant *τρισὶ* add CD  23-24 *τοῦ γένους τῇ πρὸς εἶδος* CD  28-29 *ὅπέρ ἐστιν, ἅπέρ ἐστιν*, sic Scholarios passim

τοῦ ἔχειν τοιαύτην φύσιν, ὥστε ἐν αὐτῷ δύνασθαι ἀφορίζεσθαι τὰς τρεῖς διαστάσεις· αὗται δὲ αἱ τρεῖς | διαστάσεις ἀφωρισμέναι εἰσὶ τὸ σῶμα, ὅπερ f. 280 ἐστὶν ἐν τῷ τῆς ποσότητος γένει. Συμβαίνει δὲ ἐν τοῖς πράγμασιν ὥστε τὸ ἔχον μίαν τελειότητα πρὸς ὑψηλοτέραν ἔτι τελειότητα φθάνειν, ὡς δῆλον ἐστὶν ἐπὶ τοῦ ἀνθρώπου, ὃς καὶ τὴν αἰσθητικὴν ἔχει φύσιν, καὶ ἐπέκεινα τὴν νοεράν. Ὁμοίως δὲ καὶ τῷ σώματι συνάπτεσθαι δυνατὸν ἢ προστίθεσθαι πρὸς τῷ εἴδει τούτῳ, ὅπερ ἐστὶ τὸ δύνασθαι ἐν αὐτῷ τὰς τρεῖς ἀφορίζεσθαι διαστάσεις, ἄλλην τινὰ τελειότητα, οἷον ζωήν, ἤ τι τοιοῦτον. Δύναται τοίνυν τοῦτο τὸ ὄνομα τὸ σ ῶ μ α σημαίνειν πρᾶγμά τι, ὅπερ ἔχει τοιοῦτον εἶδος, ἐξ οὗ ἕπεται ἐν αὐτῷ ἡ πρὸς τὸ ἀφορίζεσθαι τρισὶ διαστάσεσιν ἐπιτηδειότης μετὰ ἀποκοπῆς τινος ἤγουν ἀποκληρώσεως, δηλονότι ὥστε ἐξ ἐκείνου τοῦ εἴδους μηδεμίαν ἄλλην ὑψηλοτέραν τελειότητα ἀκολουθεῖν, ἀλλ' ἐάν τι προστεθῇ, παρὰ τὴν σημασίαν ταύτης τῆς λέξεως εἶναι. Τούτῳ τῷ τρόπῳ ἔσται τὸ σῶμα ὁλοκληρικὸν καὶ ὑλικὸν μέρος τοῦ ζῴου, διότι ἡ ψυχή ἐστιν ἄλλο τι παρὰ τὸ σημαινόμενον τῷ ὀνόματι τοῦ σώματος, καὶ ἐπεισιοῦσα αὐτῷ τῷ σώματι οὕτως ὥστε ἐκ τούτων τῶν δύο, δηλονότι τῆς ψυχῆς καὶ τοῦ σώματος, ὡς ἐκ μερῶν συνίστασθαι τὸ ζῷον. Δύναται δὲ τοῦτο τὸ ὄνομα τὸ σ ῶ μ α καὶ τούτῳ τῷ τρόπῳ λαμβάνεσθαι ὥστε σημαίνειν πρᾶγμά τι, ὅπερ ἔχει τοιοῦτον εἶδος, ἐξ οὗ αἱ τρεῖς διαστάσεις δύναιντ' ἂν ἀφορίζεσθαι, ὁποῖον ἂν εἴη τὸ εἶδος ἐκεῖνο, εἴτε ἀπ' αὐτοῦ δύναται προελθεῖν ὑψηλοτέρα τις τελειότης, εἴτε καὶ μή· καὶ τοῦτον τὸν τρόπον τὸ σῶμα ἐστὶ γένος τοῦ ζῴου, διότι ἐν τῷ ζῴῳ οὐδὲν ἔστι λαβεῖν, ὅπερ οὐ συνεπτυγμένως ἐν τῷ σώματι περιέχεται· οὐ γάρ ἐστιν ἡ ψυχὴ ἄλλο εἶδος παρ' ἐκεῖνο, δι' οὗ ἐν τῷ πράγματι ἠδύναντο αἱ τρεῖς ἀφορίζεσθαι διαστάσεις· καὶ διὰ τοῦτο, ὅτε ἐλέγετο· „σῶμα ἐστὶ τὸ ἔχον τοιοῦτον εἶδος, ἐξ οὗ δύναιντ' ἂν αἱ τρεῖς διαστάσεις ἀφορίζεσθαι ἐν αὐτῷ", ἐνοεῖτο κἂν ὁποιονοῦν εἶδος εἴη, εἴτε ψυχή, εἴτε λιθότης, εἴτε τι ἄλλο· καὶ οὕτω τὸ εἶδος τοῦ ζῴου ἐν τῷ εἴδει τοῦ σώματος συνεπτυγμένως περιέχεται, καθὼς ἐστι τὸ σῶμα γένος αὐτοῦ.

Τοιαύτη δέ ἐστι καὶ ἡ τοῦ ζῴου πρὸς τὸν ἄνθρωπον σχέσις. Εἰ γὰρ τὸ ζῷον ἐδήλου μόνον πρᾶγμά τι τοιαύτην ἔχον τελειότητα ὡς δύνασθαι αἰσθάνεσθαι καὶ κινεῖσθαι διὰ τῆς ἐν αὐτῷ οὔσης ἀρχῆς, μετὰ ἀποκοπῆς καὶ ἐξαιρέσεως ἄλλης ὁποιασοῦν τελειότητος, τότε ὁποία ἂν ὑψηλοτέρα τελειότης, ἢ ἄλλο εἶδος ἐπεισήρχετο, εἶχεν ἂν πρὸς τὸ ζῷον ὡς μέρος, καὶ οὐχ ὡς ἀδιακρίτως περιεχόμενον ἐν τῷ λόγῳ τοῦ ζῴου, καὶ οὕτως οὐκ ἂν ἦν γένος· ἀλλ' ἔστι γένος καθὸ σημαίνει πρᾶγμά τι, οὗ ἐκ τοῦ εἴδους δύναται προελθεῖν αἴσθησις καὶ κίνησις, ὁποῖον ἂν εἴη ἐκεῖνο τὸ εἶδος, εἴτε ψυχὴ αἰσθητικὴ μόνον, εἴτε ψυχὴ αἰσθητικὴ καὶ λογικὴ ἅμα.

---

12 *τελειότητα ὑψηλοτέραν* CD 14 *εἶναι* om CD 23-24 *περιέχεται ἐν σ.* CD

Ε.Υ.Α. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

f. 280 v 2. Οὕτω τοίνυν τὸ γένος ἀδιορίστως σημαίνει ὅλον ὅπερ ἐστὶν ἐν τῷ εἴδει· οὐ γὰρ σημαίνει μόνον τὴν ὕλην. Ὁμοίως καὶ ἡ διαφορὰ σημαίνει τὸ ὅλον, καὶ οὐ σημαίνει μόνον τὸ εἶδος· καὶ ὁ ὁρισμὸς δὲ ὅλον σημαίνει καὶ τὸ εἶδος, διαφόρως μέντοι γε, διότι τὸ γένος σημαίνει τὸ ὅλον ὡς παρωνομασία τις διορίζουσα τὸ ἐν τῷ πράγματι ὑλικὸν ἄνευ διορισμοῦ τοῦ ἰδίου εἴδους. Ὅθεν τὸ γένος λαμβάνεται ἐκ τῆς ὕλης, εἰ καὶ μὴ ἔστιν ὕλη· ὃ δῆλον ἐστὶν ἐκ τοῦ τὸ σῶμα λέγεσθαι τῷ ἔχειν τοιαύτην τελειότητα, ὥστε δύνασθαι ἀφορίζεσθαι ἐν αὐτῷ τὰς τρεῖς διαστάσεις, ἥτις δὴ τελειότης ἐστὶν ὑλικῶς ἔχουσα πρὸς τὴν ὑψηλοτέραν τελειότητα. Ἡ δὲ διαφορὰ τὸ ἀνάπαλιν ἐστὶν ὥσπερ τις παρωνομασία ἀπὸ τοῦ εἴδους εἰλημμένη, πλὴν τοῦ τὴν ὕλην ἐκ τῆς πρώτης αὐτῆς ἐννοίας εἶναι τὴν διωρισμένην, ὡς ἔστι φανερὸν ὅταν λέγηται ζῷον, ἡ οὐσία ἔχουσα ψυχήν· οὐ γὰρ διορίζεται τί ἐστιν ἑκάτερον, σῶμα, ἤ τι ἄλλο. Ὅθεν Ἀβινσένας φησίν, ὅτι τὸ γένος οὐ νοεῖται ἐν τῇ διαφορᾷ ὡς μέρος τῆς οὐσίας αὐτῆς, ἀλλὰ μόνον ὡς ὂν ἔξω τῆς οὐσίας, ὥσπερ καὶ τὸ ὑποκείμενον ἐστὶν ἐκ τῆς ἐννοίας τῶν παθῶν· καὶ διὰ τοῦτο καὶ τὸ γένος οὐ κατηγορεῖται κατὰ τῆς διαφορᾶς κυρίως καὶ καθ' αὑτό, ὥς φησιν ὁ Φιλόσοφος ἐν τρίτῳ τῶν μετὰ τὰ φυσικὰ καὶ ἐν τετάρτῳ τῶν τοπικῶν, εἰ μὴ ἴσως ὡς τὸ ὑποκείμενον κατηγορεῖται κατὰ τοῦ πάθους. Ἀλλ' ὁ ὁρισμὸς ἢ τὸ εἶδος συμπεριλαμβάνει ἀμφότερα, δηλονότι ὡρισμένην ὕλην, ἣν σημαίνει τὸ τοῦ γένους ὄνομα, καὶ εἶδος ὡρισμένον, ὅπερ ἀφορίζεται τὸ ὄνομα τῆς διαφορᾶς.

Ἐκ τούτου δὲ φαίνεται διὰ τί τὸ γένος καὶ ἡ διαφορὰ καὶ τὸ εἶδος ἔχουσιν ἀναλόγως πρὸς τὴν ὕλην τὸ εἶδος καὶ τὸ σύνθετον ἐν τῇ φύσει, εἰ καὶ μὴ εἰσὶ ταὐτὸν ὅπερ ἐκεῖνα, διότι οὔτε τὸ γένος ἐστὶν ὕλη, ἀλλ' ἀπὸ τῆς ὕλης λαμβάνεται ὡς σεσημασμένον ὅλον, οὔτε ἡ διαφορὰ εἶδος, ἀλλ' ἐκ τοῦ εἴδους εἰλημμένη ὡς σεσημασμένον ὅλον. Ὅθεν λέγομεν τὸν ἄνθρωπον εἶναι ζῷον λογικὸν καὶ οὐχ ἐκ ζῴου λογικοῦ, ὥσπερ φαμὲν αὐτὸν εἶναι ἐκ ψυχῆς καὶ σώματος· ἐκ τῆς ψυχῆς γὰρ καὶ τοῦ σώματος λέγεται εἶναι ὁ ἄνθρωπος ὡς ἐκ δύο μερῶν πρᾶγμά τι τρίτον συνεστηκός, ὅπερ οὐδέτερον αὐτῶν ἐστιν· ὁ γὰρ ἄνθρωπος οὔτε ψυχή, οὔτε σῶμα. Ἀλλ' εἴπερ ὁ ἄνθρωπος τρόπῳ τινὶ ἐκ τοῦ ζῴου καὶ τοῦ λογικοῦ εἶναι λέγοιτο, οὐκ ἂν εἴη ὡς πρᾶγμα τρίτον ἐκ δύο πραγμάτων, ἀλλ' ὥσπερ ἔννοια τρίτη ἐκ δυοῖν ἐννοιῶν· ἡ γὰρ ἔννοια τοῦ ζῴου ἐστὶ χωρὶς διορισμοῦ τοῦ εἴδους, λέγω δὲ τοῦ ὑπὸ τὸ γένος, ἐκδηλοῦσα τὴν φύσιν τοῦ πράγματος καὶ διακρίνουσα ἐκείνου, διὰ τὸ εἶναι ὑλικόν τι τῇ παραθέσει τῆς ἐσχάτης τελειό-

---

14 *παρωνόμασις* CD 13 *ἑκάτερον* sic codd. On attendrait *πότερον* (= *Utrum*) 17 *κατὰ* om CD 24 *ὕλην καὶ* CD 28 *εἶναι* après *αὐτὸν* om CD 35 *ἐκδηλοῦσα* sic CD, *ἐκδηλούσης* A 35-36 *καὶ διακρινούσης ἐκείνου* en marge A, om CD 36 *ἐσχάτης*: *ἄκρας* CD

Ε. Α. ΙΩΑΝΝΙΝΑ 2006

τητος. Ἡ δὲ ἔννοια τῆς τοιαύτης διαφορᾶς τοῦ λογικοῦ συνίσταται ἐν τῷ διορισμῷ τοῦ εἴδους τοῦ εἰδικοῦ, μὴ διορίζουσα μέντοι γε ὅπερ ἐστὶν ὑλικόν· ἐξ ὧν δύο ἐννοιῶν συνίσταται ἡ ἔννοια τοῦ ὁρισμοῦ καὶ τοῦ εἴδους. Καὶ διὰ τοῦτο ὥσπερ τὸ πρᾶγ|μα τὸ συνεστὼς ἔκ τινων οὐ δέχεται τὴν f. 281 κατηγορίαν αὐτῶν τῶν πραγμάτων, ἐξ ὧν συνέστηκεν, οὕτως οὐδὲ ἡ ἔννοια δέχεται τὴν κατηγορίαν ἐκείνων τῶν ἐννοιῶν, ἐξ ὧν συνέστηκεν· οὐ γὰρ λέγομεν ὅτι ὁ ὁρισμός ἐστι γένος ἢ διαφορά.

Εἰ δὲ καὶ ὅτι μάλιστα τὸ γένος σημαίνει ὅλην τὴν οὐσίαν τοῦ εἴδους, οὐ μέντοι γε τῶν διαφόρων εἰδῶν, ὧν ἐστι τὸ αὐτὸ γένος εἶναι μίαν οὐσίαν, διότι ἡ ἑνότης τοῦ γένους ἐξ αὐτῆς τῆς ἀδιοριστίας ἢ ἀδιαφορίας πρόεισιν· οὐχ οὕτω δὲ ὥστε τὸ διὰ τοῦ γένους σημαινόμενον εἶναι μίαν φύσιν εὑρισκομένην ἐν διαφόροις εἴδεσιν, ἥτινι ἐπεισέρχεται πρᾶγμά τι ἕτερον, ὅπερ ἐστὶν ἡ διαφορά, ὁρίζον αὐτήν, ὥσπερ τὸ εἶδος ὁρίζει τὴν ὕλην, ἥτις εἴη ἂν ἀριθμῷ μία, ἀλλὰ διότι τὸ γένος σημαίνει εἶδός τι, οὐ μέντοι διωρισμένως τοῦτο ἢ ἐκεῖνο, ὅπερ ὡρισμένως ἡ διαφορὰ φανεροῖ, ὅπερ οὐκ ἔστιν ἕτερον ἢ ἐκεῖνο τὸ διὰ τοῦ γένους ἀδιορίστως σημαινόμενον. Καὶ διὰ τοῦτο φησὶν Ἀβερόης ἐν τῷ ἑνδεκάτῳ τῶν μετὰ τὰ φυσικά, ὅτι ἡ ὕλη λέγεται μία κατὰ ἀφαίρεσιν πάντων τῶν εἰδῶν, ἀλλὰ τὸ γένος λέγεται ἓν κατὰ κοινωνίαν τοῦ σεσημασμένου εἴδους· κἀντεῦθεν δῆλόν ἐστιν, ὅτι τῇ προσθέσει τῆς διαφορᾶς ἀφαιρεθείσης ἐκείνης τῆς ἀδιοριστίας, ἥτις ἦν αἰτία τοῦ γένους τῆς ἑνότητος, ὑπολείπονται τὰ εἴδη ἔχοντα τὰς οὐσίας διαφόρους.

3. Καὶ ἐπειδή, ὡς εἴρηται, ἡ τοῦ εἴδους φύσις ἐστὶν ἀδιόριστος τῇ τοῦ ἀτόμου σχέσει, ὥσπερ ἡ τοῦ γένους φύσις τῇ σχέσει τοῦ εἴδους, ἐντεῦθέν ἐστιν, ὅτι καθάπερ τὸ γένος, καθὸ κατηγορεῖται τοῦ εἴδους, ἐμπλέκει τῇ ἰδίᾳ σημασίᾳ, εἰ καὶ ἀδιακρίτως, ὅλον ὅπερ ἐστὶν ἐν τῷ εἴδει διωρισμένως, οὕτω καὶ τὸ εἶδος, καθὸ κατηγορεῖται κατὰ τοῦ ἀτόμου, δεῖ σημαίνειν ὅλον ὅπερ ἐστὶν οὐσιωδῶς ἐν τῷ ἀτόμῳ, ἀλλ' ἀδιακρίτως· καὶ τοῦτον τὸν τρόπον ἡ οὐσία τοῦ εἴδους σημαίνεται τῷ ὀνόματι τοῦ ἀνθρώπου· ὅθεν ὁ ἄνθρωπος κατὰ τοῦ Σωκράτους κατηγορεῖται. Εἰ δὲ σημανθήσεται ἡ φύσις τοῦ εἴδους μετὰ ἀποκοπῆς εἴτουν ἐξαιρέσεως τῆς ἀφωρισμένης ὕλης, ἥτις ἀρχή ἐστι τῆς ατομότητος, οὕτως ἕξει κατὰ τρόπον μέρους· καὶ τούτῳ τῷ τρόπῳ σημαίνεται τῷ ὀνόματι τῆς ἀνθρωπότητος, ἥτις κατηγορεῖσθαι οὐ δύναται· ἡ γὰρ ἀνθρωπότης σημαίνει τοῦτο ὅθεν ὁ ἄνθρωπος ἐστὶν ἄνθρωπος, ἡ δὲ σεσημασμένη ὕλη οὐκ ἔστι τὸ ὅθεν ὁ ἄνθρωπος ἐστὶν ἄνθρωπος, καὶ οὕτως οὐδενὶ τρόπῳ περιέχεται ἐν ἐκείνοις ἐξ ὧν ὁ ἄνθρωπος ἔχει τὸ εἶναι ἄνθρωπος. Ἐπεὶ τοίνυν ἡ ἀνθρωπότης

---

15-16 *ὅπερ ὡρισμένως — ἢ ἐκεῖνο* om A sans doute par distraction  34-35 *ἡ δὲ σεσημασμένη — ἄνθρωπος* om CD  36 *ἐπεὶ τοίνυν — εἶναι ἄνθρωπος* [p. 162, l. 2] om CD



Ε.Γ.Δ της Σ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐγκλείει τῇ ἑαυτῆς ἐννοίᾳ μόνον ἐκεῖνα ἐξ ὧν ὁ ἄνθρωπος ἔχει τὸ εἶναι ἄνθρωπος, δῆλον ὅτι ἀπὸ τῆς σημασίας αὐτῆς ἐκκλείεται ἢ ἐκκόπτεται ἡ ὕλη ἡ διωρισμένη καὶ ἐπισεσημασμένη· καὶ διότι τὸ μέρος οὐ κατηγορεῖται κατὰ τοῦ ὅλου, ἐντεῦθέν ἐστι τὸ τὴν ἀνθρωπότητα μήτε κατὰ τοῦ ἀνθρώπου, μήτε κατὰ τοῦ Σωκράτους κατηγορεῖσθαι. Ὅθεν Ἀβινσένας
f. 281v φησίν, ὅτι ἡ ὕπαρξις τοῦ συν|θέτου οὐκ ἔστιν αὐτὸ τὸ σύνθετον οὗ ἐστιν ὕπαρξις, εἰ καὶ αὐτὴ ἡ ὕπαρξις ἐστὶ σύνθετος, ὥσπερ ἡ ἀνθρωπότης, ἀλλὰ καίτοι γε σύνθετος οὖσα, οὐκ ἔστιν ἄνθρωπος, μᾶλλον μὲν οὖν δεῖ ταύτην προσειλημμένην εἶναι ἔν τινι, ὅπερ ἐστὶν ὕλη σεσημασμένη.

Ἀλλ᾽ ἐπειδή, ὡς εἴρηται, ἡ τοῦ εἴδους ἐπισημασία εἴτουν ὁ ἀφορισμὸς ἐν τῇ πρὸς τὸ γένος ἀποβλέψει ἐστὶ διὰ τοῦ εἴδους ἤγουν τῆς μορφῆς, ὁ δὲ τοῦ ἀτόμου ἀφορισμὸς ἐν τῇ πρὸς τὸ εἶδος ἀποβλέψει ἐστὶ διὰ τῆς ὕλης, διὰ τοῦτο δεῖ τὸ ὄνομα τὸ σημαῖνον ἐκεῖνο, ὅθεν ἡ φύσις τοῦ γένους λαμβάνεται, μετὰ ἀποτομῆς καὶ ἐξαιρέσεως τοῦ διωρισμένου εἴδους, δηλαδὴ τῆς μορφῆς τοῦ τελειοῦντος τὸ εἶδος, σημαίνειν μέρος τοῦ ὅλου τὸ ὑλικόν, ὥσπερ τὸ σῶμα ἐστὶ μέρος ὑλικὸν τοῦ ἀνθρώπου· τὸ δὲ ὄνομα τὸ σημαῖνον ἐκεῖνο, ὅθεν λαμβάνεται ἡ φύσις τοῦ εἴδους μετὰ ἀποτομῆς τῆς διωρισμένης ὕλης, σημαίνειν μέρος τὸ εἰδικόν, καὶ διὰ τοῦτο ἡ ἀνθρωπότης σημαίνεται ὡς εἶδός τι, καὶ λέγεται, ὅτι ἔστιν εἶδος τοῦ ὅλου, οὐχ ὡσανεὶ ἐπεισιοῦσα τοῖς οὐσιώδεσι μέρεσι, δηλονότι τῷ εἴδει καὶ τῇ ὕλῃ, ὥσπερ τὸ τῆς οἰκίας εἶδος ἐπεισέρχεται τοῖς ὁλοκληρικοῖς αὐτῆς μέρεσιν, ἀλλὰ μᾶλλον ἐστὶν εἶδος περιπλεκόμενον καὶ περιλαμβανόμενον τὸ ὅλον, δηλονότι τὴν ὕλην καὶ τὸ εἶδος, μετὰ ἀφαιρέσεως μέντοι γε ἐκείνων δι᾽ ὧν ἡ ὕλη πέφυκεν ἀφορίζεσθαι.

Οὕτω τοίνυν φαίνεται, ὅτι ἡ οὐσία τοῦ ἀνθρώπου σημαίνεται τούτῳ τῷ ὀνόματι τῷ ἄνθρωπος καὶ τῷ ἡ ἀνθρωπότης, ἀλλὰ διαφόρως, ὡς εἴρηται, διότι τοῦτο τὸ ὄνομα ὁ ἄνθρωπος σημαίνει ταύτην ὡς ὅλον, ἐφόσον δῆλον ὅτι οὐκ ἀποτέμνει εἴτουν ἐκβάλλει τὸν τῆς ὕλης ἀφορισμόν, ἀλλὰ συμπεπλεγμένως περιέχει ταύτην καὶ ἀδιακρίτως, καθὼς εἴρηται, ὅτι τὸ γένος περιέχει τὴν διαφοράν, καὶ διὰ τοῦτο κατηγορεῖται τὸ ἄνθρωπος ὄνομα κατὰ τῶν ἀτόμων· ἀλλὰ τὸ ὄνομα τοῦτο ἡ ἀνθρωπότης σημαίνει ταύτην ὡς μέρος, καθόσον οὐ περιέχει ἐν τῇ ἑαυτῆς σημασίᾳ εἰ μὴ ὅπερ ἐστὶ τοῦ ἀνθρώπου καθόσον ἐστὶν ἄνθρωπος, καὶ ἀποκόπτει πᾶσαν ἐπισημασίαν τῆς ὕλης· ὅθεν κατὰ τῶν ἀτόμων οὐ κατηγορεῖται. Καὶ διὰ τοῦτο ἔστιν ὅτε τὸ ὄνομα τῆς οὐσίας εὑρίσκεται κατηγορούμενον κατὰ τοῦ πράγματος· λέγομεν γὰρ τὸν Σωκράτην εἶναι οὐσίαν τινά, καὶ ἐνίοτε ἀποφάσκεται, ὥσπερ λέγομεν ὅτι ἡ οὐσία τοῦ Σωκράτους οὐκ ἔστι Σωκράτης.

---

21 *αὐτῆς*: *αὐτοῖς* CD    27 *ὁ*: *τὸ* CD    29 *καθὼς*: *ὡς* CD

Ε.Υ.Δ της Κ.τ.λ. ΙΩΑΝΝΙΝΑ 2006

## Chapitre IV.

1. Θεωρηθέντος τοίνυν τοῦ τί σημαίνοιτ' ἂν τῷ τῆς οὐσίας ὀνόματι ἐν ταῖς συνθέτοις οὐσίαις, θεωρητέον ἐστὶ πῶς ἔχει πρὸς τὸν λόγον τοῦ γένους καὶ τοῦ εἴδους καὶ τῆς διαφορᾶς. Διότι δὲ τοῦτο ᾧ ἁρμόττει ὁ λόγος τοῦ γένους, ἢ τοῦ εἴδους, ἢ τῆς διαφορᾶς κατηγορεῖται κατὰ τοῦδε τοῦ ἑνικοῦ καὶ σεσημασμένου, ἀδύνατόν ἐστι τὸν λόγον τοῦ καθόλου, δηλονότι τοῦ γένους ἢ τοῦ εἴδους, ἁρμόττειν τῇ οὐσίᾳ καθὸ τῷ τοῦ μέρους τρόπῳ σημαίνεται, οἷον τῷ ὀνόματι τῆς ἀνθρωπότητος· καὶ διὰ τοῦτο φησὶν Ἀβινσένας, | ὅτι ἡ λογικότης οὐκ ἔστι διαφορά, ἀλλ' ἀρχὴ διαφορᾶς, f. 282 καὶ ἡ ἀνθρωπότης τῷ αὐτῷ λόγῳ οὐκ ἔστιν εἶδος, οὐδὲ ἡ ζῳότης ἔτι γένος ὁμοίῳ λόγῳ. Ὡσαύτως δὲ ἀδύνατον λέγεσθαι τὸν λόγον τοῦ γένους ἢ τοῦ εἴδους ἁρμόζειν τῇ οὐσίᾳ καθὸ ἔστι τι πρᾶγμα ὑφεστὼς ἔξω τῶν μερικῶν, ὡς ἐτίθεντο οἱ Πλατωνικοί, διότι οὕτω τὸ γένος καὶ τὸ εἶδος οὐ κατηγορεῖται κατὰ τοῦδε τοῦ ἀτόμου καθὸ κεχωρισμένον αὐτοῦ, ἀλλ' οὐδ' ἀληθὲς τὸ κεχωρισμένον ἐκεῖνο λυσιτελεῖν ἐν τῇ γνώσει τούτου τοῦ μερικοῦ· καὶ διὰ τοῦτο λείπεται τὸν τοῦ γένους λόγον ἢ τοῦ εἴδους προσήκειν τῇ οὐσίᾳ καθὸ σημαίνεται τῷ τρόπῳ τοῦ ὅλου, οἷον τῷ ὀνόματι τοῦ ἀνθρώπου καὶ τοῦ ζῴου καὶ τοῦ λογικοῦ καθὸ ἐμπεπλεγμένως καὶ ἀδιακρίτως περιέχει τὸ ὅλον τοῦτο ὅπερ ἐν τῷ ἀτόμῳ ἐστίν.

Ἡ φύσις δὲ ἢ ἡ οὐσία οὕτω λαμβανομένη δύναται διπλῶς θεωρεῖσθαι· ἕνα μὲν τρόπον κατὰ τὴν ἰδίαν φύσιν, καὶ αὕτη ἐστὶν ἀπολελυμένη θεωρία αὐτῆς, καὶ τοῦτον τὸν τρόπον οὐδέν ἐστιν ἀληθὲς περὶ αὐτῆς εἰ μὴ τὸ ἁρμόζον αὐτῇ καθὸ τοιαύτη. Ὅθεν εἴ τι τῶν ἄλλων ἀποδιδοῦσιν αὐτῇ, ψευδὴς ἡ ἀπόδοσις, λόγου χάριν, τῷ ἀνθρώπῳ, καθὸ ἄνθρωπος, ἁρμόζει τὸ λογικὸν καὶ τὸ ζῷον καὶ τἆλλα τὰ ἐν τῷ ὁρισμῷ αὐτοῦ πίπτοντα· τὸ δὲ λευκόν, ἢ τὸ μέλαν, ἢ εἴ τι τοιοῦτον, μὴ ὂν ἐκ τοῦ λόγου τῆς ἀνθρωπότητος, οὐχ ἁρμόζει τῷ ἀνθρώπῳ καθὸ ἄνθρωπος. Ὅθεν εἰ ζητεῖται πότερον αὕτη ἡ φύσις οὕτω θεωρουμένη δύναιτο λέγεσθαι μία ἢ πλείους, οὐδέτερον συγχωρητέον ἐστί, διότι ἑκάτερόν ἐστιν ἔξω τοῦ τῆς ἀνθρωπότητος λόγου ἢ τῆς ἐννοίας, καὶ ἑκάτερον δύναται αὐτῇ συμβαίνειν· εἰ γὰρ τὸ πλῆθος τῆς οὐσίας λέγει τὴν ἔννοιαν αὐτῆς ἢ τὸν λόγον, οὐδέποτε δύναται εἶναι μία, καίτοι μία οὖσα καθό ἐστιν ἐν τῷ Σωκράτει. Ὁμοίως δὲ καὶ ἡ ἑνότης, ἐὰν ᾖ ἐκ τῆς ἐννοίας αὐτῆς ἢ τοῦ λόγου, τότε εἴη ἂν μία καὶ ἡ αὐτὴ Σωκράτους καὶ Πλάτωνος, οὐδὲ δύναιτ' ἂν ἐν πλείοσι πληθύνεσθαι.

Ἄλλον δὲ τρόπον θεωρεῖται κατὰ τὸ εἶναι, ὅπερ ἔχει ἐν τούτῳ ἢ ἐκείνῳ, καὶ οὕτω κατηγορεῖταί τι κατ' αὐτῆς κατὰ συμβεβηκὸς τῷ λόγῳ

---

5 *κατηγορεῖσθαι* CD  18 *καὶ τοῦ ζῴου: ἢ τοῦ ζῴου* CD  20 *δὲ* en interligne A, om BCD  25 *εἰς τὸν ὁρισμὸν* B, corrigé dans A  30 *δύναιτο* CD



Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῦ ἐν ᾧ ἐστιν, ὥσπερ λέγεται, ὅτι ὁ ἄνθρωπος ἐστὶ λευκὸς διὰ τὸ τὸν Σωκράτην εἶναι λευκόν, εἰ καὶ μὴ ἁρμόζει τοῦτο τῷ ἀνθρώπῳ ᾗ ἀνθρώπῳ. Αὐτὴ δὲ ἡ φύσις διπλοῦν ἔχει τὸ εἶναι· ἓν ἐν τοῖς μερικοῖς καὶ καθέκαστον, καὶ ἄλλο ἐν τῷ ἀνθρώπῳ εἴτουν ἐν τῇ ψυχῇ· καὶ καθ' ἑκάτερον τούτων ἕπονται τῇ εἰρημένῃ φύσει τὰ συμβεβηκότα. Καὶ ἐν τοῖς μερικοῖς πολλαπλοῦν ἔχει τὸ εἶναι κατὰ τὴν διαφορὰν καὶ ποικιλίαν τῶν καθ' ἕκαστα, καὶ ὅμως αὐτῇ κατὰ τὴν ἰδίαν αὐτῆς θεωρίαν, δηλονότι τὴν ἀπολελυμένην, οὐδὲν τούτων τῶν εἶναι ἀποδίδοσθαι ὀφείλει· ψεῦδος γάρ ἐστι λέγειν, ὅτι ἡ οὐσία τοῦ ἀνθρώπου, καθὸ τοιαύτη, ἔχει τὸ εἶναι ἐν τῷδε τῷ μερικῷ, διότι εἰ τὸ εἶναι ἐν τούτῳ τῷ μερικῷ ἥρμοζε τῷ ἀνθρώπῳ καθόσον ἐστὶν
f. 282v ἄνθρωπος, οὐκ ἂν ἦν ἔξω | τούτου τοῦ μερικοῦ· ὡσαύτως δὲ καὶ εἰ ἥρμοζε τῷ ἀνθρώπῳ, καθόσον ἄνθρωπος, τὸ μὴ εἶναι ἐν τούτῳ τῷ μερικῷ, οὐδέποτ' ἂν ἦν ἐν αὐτῷ. Ἀλλ' ἀληθές ἐστι λέγειν, ὅτι ὁ ἄνθρωπος, καθόσον ἐστὶν ἄνθρωπος, οὐκ ἔχει τὸ εἶναι ἐν τῷδε τῷ μερικῷ ἢ ἐκείνῳ, ἢ ἐν τῇ ψυχῇ τῇδε ἢ ἐκείνῃ. Φανερὸν οὖν, ὅτι ἡ φύσις τοῦ ἀνθρώπου ἀπολελυμένως θεωρουμένη ἀφαιρεῖται ἀπὸ παντὸς εἶναι, οὕτω μέντοι γε ὥστε μὴ γίνεσθαι περιτομήν τινος ἐκείνων καὶ ἀποκλήρωσιν· καὶ αὕτη ἡ φύσις οὕτω θεωρουμένη ἐστὶν ἡ κατηγορουμένη κατὰ τῶν μερικῶν εἴτουν κατὰ τῶν ἀτόμων πάντων.

2. Οὐ μέντοι γε δυνατὸν λέγεσθαι, ὅτι ὁ λόγος τοῦ καθόλου ἁρμόττει τῇ φύσει οὕτω λαμβανομένῃ, διότι ἐκ τοῦ λόγου τοῦ καθόλου ἐστὶν ἡ ἑνότης καὶ ἡ κοινότης· τῇ δε ἀνθρωπίνῃ φύσει οὐδέτερον προσήκει κατὰ τὴν ἀπολελυμένην θεωρίαν. Εἰ γὰρ ἡ κοινότης εἴη ἐκ τῆς ἐννοίας τοῦ ἀνθρώπου, τότε ἐν ᾧ ἂν εὑρίσκοιτο ἡ ἀνθρωπότης, εὑρίσκοιτ' ἂν καὶ ἡ κοινότης· καὶ τοῦτο ἐστὶ ψεῦδος, διότι ἐν Σωκράτει οὐχ εὑρίσκεταί τις κοινότης, ἀλλ' εἴ τι ἐστὶν ἐν αὐτῷ, ἄτομόν ἐστιν.

Ὡσαύτως ἀδύνατον ὀρθῶς λέγεσθαι, ὅτι ὁ λόγος τοῦ γένους ἢ τοῦ εἴδους ἁρμόζει ἢ συμβαίνει τῇ ἀνθρωπίνῃ φύσει κατὰ τὸ εἶναι ὅπερ ἔχει ἐν τοῖς ἀτόμοις, διότι οὐχ εὑρίσκεται ἡ ἀνθρωπίνη φύσις ἐν τοῖς ἀτόμοις καθ' ἑνότητα, ὥστ' εἶναι ἕν τι πᾶσι προσῆκον, ὅπερ ὁ τοῦ καθόλου λόγος ἀπαιτεῖ.

Καταλείπεται τοίνυν ὅτι ὁ λόγος τοῦ εἴδους συμβαίνει τῇ ἀνθρωπίνῃ φύσει κατὰ τὸ εἶναι, ὅπερ ἐν τῷ νῷ ἔχει· αὐτὴ γὰρ ἡ ἀνθρωπίνη φύσις ἔχει ἐν τῷ νῷ τὸ εἶναι κατὰ ἀφαίρεσιν ἀπὸ πάντων τῶν ἀτόμων· καὶ διὰ τοῦτο ἔχει ἀναφορὰν ἑνοειδῆ πρὸς πάντα τὰ ἄτομα, ἅπερ εἰσὶν ἔξω τῆς ψυχῆς, καθό ἐστιν ἐπίσης ὁμοιότης πάντων, ἐνάγουσα εἰς τὴν πάντων

---

7 *ἰδίαν* om CD 10 *ἥρμοζε τῷ βοῒ καὶ* après *ἀνθρώπῳ* add CD, mots grattés dans AB *καθόσον*: *ἐφόσον* CD 15 *τῇδε ἢ ἐκείνῃ* en marge AB, om CD 16 *ἀφαιρεῖ* B 17 *καὶ ἀποκλήρωσιν* en marge AB, om CD 34 *πάντων*: *τούτων* CD *ἀτομιζόντων* CD

Ε.Υ.Ζ. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

γνῶσιν καθόσον εἰσὶν ἄνθρωποι· καὶ ἐκ τοῦ τοιαύτην ἔχειν ἀναφορὰν πρὸς πάντα τὰ ἄτομα, ὁ νοῦς εὑρίσκει τὸν λόγον τοῦ εἴδους καὶ ἀποδίδωσιν αὐτῇ· ὅθεν ὁ ἐξηγητὴς φησὶν ἐν τῷ πρώτῳ περὶ ψυχῆς, ὅτι ὁ νοῦς ἐστὶν ὁ ποιῶν ἐν τοῖς πράγμασι τὸ καθόλου· τοῦτο δέ φησι καὶ ἐν τῇ μετὰ τὰ φυσικὰ αὐτοῦ. Εἰ γοῦν καὶ αὐτὴ ἡ φύσις ἡ νοητὴ ἔχει τὸν λόγον τοῦ καθόλου, καθὸ παραβάλλεται πρὸς τὰ ἔξω τῆς ψυχῆς πράγματα, ἅτε οὖσα μία ὁμοιότης ἁπάντων, ὅμως καθὸ ἔχει τὸ εἶναι ἐν τῷδε τῷ νῷ ἢ ἐν ἐκείνῳ, ἔστιν εἶδός τι νοητὸν μερικόν. Καὶ διὰ τοῦτο ἔκδηλόν ἐστι τὸ τοῦ Ἀβερόου ὑστέρημα ἐν τῷ τρίτῳ περὶ ψυχῆς, ὅστις ἠθέλησεν ἐκ τῆς καθολικότητος τοῦ νοητοῦ εἴδους τὴν καθολικότητα τοῦ νοῦ ἐν πᾶσιν ἀνθρώποις συμπεράναι, διότι οὐκ ἔστιν ἡ καθολικότης ἐκείνου τοῦ εἴδους κατὰ τοῦτο τὸ εἶναι ὅπερ ἔχει ἐν τῷ νῷ, ἀλλὰ καθὸ ἀναφέρεται πρὸς τὰ πράγματα ὡς ὁμοιότης τῶν πραγμάτων· ὥσπερ καὶ εἰ μία στήλη σωματικὴ παριστῶσα πολλοὺς ἀνθρώπους εἴη, δῆλόν ἐστιν, ὅτι ἐκείνη ἡ εἰκὼν ἢ τὸ εἶδος τῆς στήλης ἔχοι ἂν τὸ εἶναι μερικὸν | καὶ ἔτι ἴδιον, f. 283 κοινοῦ δὲ λόγον καθὸ παραστατικὸν πλειόνων.

Καὶ διότι τῇ ἀνθρωπίνῃ φύσει κατὰ τὴν ἰδίαν αὐτῆς θεωρίαν τὴν ἀπολελυμένην ἁρμόζει κατηγορεῖσθαι κατὰ τοῦ Σωκράτους, καὶ ὁ λόγος τοῦ εἴδους οὐχ ἁρμόττει αὐτῷ κατὰ τὴν ἀπολελυμένην αὐτοῦ θεωρίαν, ἀλλ' ἔστιν ἐκ τῶν συμβεβηκότων τῶν ἑπομένων αὐτῇ κατὰ τὸ εἶναι ὅπερ ἔχει ἐν τῷ νῷ, διὰ τοῦτο τὸ ὄνομα τοῦ εἴδους οὐ λέγεται κατὰ τοῦ μερικοῦ, ὥστε δηλονότι λέγεσθαι· „ὁ Σωκράτης ἐστὶν εἶδος", ὅπερ ἐξ ἀνάγκης ἂν συμβαίνοι, εἰ ὁ λόγος τοῦ εἴδους ἁρμόττει τῷ ἀνθρώπῳ κατὰ τὸ εἶναι ὅπερ ἔχει ἐν τῷ Σωκράτει, ἢ κατὰ τὴν ἀπολελυμένην αὐτοῦ θεωρίαν, δηλονότι καθόσον ἐστὶν ἄνθρωπος· εἴ τι γὰρ ἁρμόζει τῷ ἀνθρώπῳ καθόσον ἐστὶν ἄνθρωπος, κατηγορεῖται κατὰ τοῦ Σωκράτους, καὶ ὅμως τὸ κατηγορεῖσθαι ἁρμόζει τῷ γένει καθαυτό, ἐπεὶ ἐν τῷ ὁρισμῷ αὐτοῦ τίθεται. Κατηγορία γάρ ἐστι τὸ γινόμενον καὶ τελειούμενον δι' ἐνεργείας τοῦ νοῦ τοῦ συντιθέντος καὶ διαιροῦντος, ἔχον θεμέλιον ἐν αὐτῷ τῷ πράγματι τὴν ἑνότητα ἐκείνων, ὧν θάτερον κατὰ τοῦ ἑτέρου λέγεται. Ὅθεν ὁ λόγος τῆς τοῦ κατηγορεῖσθαι ἐπιτηδειότητος ἢ τῆς κατηγορίας δύναται κλείεσθαι ἐν τῷ λόγῳ ταύτης τῆς ἐπινοίας, ἥτις ἐστὶ τὸ γένος, ὅπερ ὁμοίως διὰ τῆς ἐνεργείας τοῦ νοῦ συμπλέκεται· ἀλλ' ὅμως τοῦτο ᾧτινι ὁ νοῦς τὸν λόγον τῆς τοιαύτης κατηγορίας ἢ κατηγορικῆς ἐπιτηδειότητος ἀποδίδωσιν, συντιθεὶς αὐτὸ μετὰ ἄλλου, οὐκ ἔστιν αὐτὴ ἡ ἐπίνοια τοῦ γένους, ἀλλὰ μᾶλλον τοῦθ' ᾧ τινι τὴν τοῦ γένους ἐπίνοιαν

---

9 *Ἀβερόου*: *ἐξηγητοῦ* CD 10 *τοῦ νοῦ* om CD 15 *τὸ* après *ἔτι* add CD
16 *κοινοῦ δὲ λόγον καθὸ*: *εἶναι καθ' ὅ ἐστι κοινὸν* CD 19 *ἁρμόζει* CD
36 *ὁ λόγος εἴτουν ὁ νοῦς τὴν — ἀποδίδωσιν* [p. 166, l. 1] CD

ΙΩΑΝΝΙΝΑ 2006

ὁ νοῦς ἀποδίδωσιν, οἷον ὡς τὸ σημαινόμενον τούτῳ τῷ ὀνόματι τῷ ζῷον. Οὕτως οὖν φανερόν ἐστιν, ὁπώσποτε ἡ οὐσία ἢ ἡ φύσις ἔχει πρὸς τὸν λόγον τοῦ εἴδους, διότι ὁ τοῦ εἴδους λόγος οὐκ ἔστιν ἐκ τῶν προσηκόντων αὐτῇ κατὰ τὴν ἀπολελυμένην αὐτῆς θεωρίαν, οὐδέ ἐστιν ἐκ τῶν συμβεβηκότων τῶν ἑπομένων αὐτῇ κατὰ τὸ εἶναι, ὅπερ ἔξω τῆς ψυχῆς ἔχει, οἷον ἡ λευκότης καὶ ἡ μελανία, ἀλλ' ἔστιν ἐκ τῶν συμβεβηκότων τῶν ἑπομένων αὐτῇ κατὰ τὸ εἶναι ὅπερ ἔχει ἐν τῷ νῷ, καὶ κατὰ τοῦτον ἔτι τὸν τρόπον ἁρμόζει αὐτῇ ὁ λόγος τοῦ γένους ἢ τῆς διαφορᾶς.

## Chapitre V.

1. Νῦν λείπεται θεωρῆσαι κατὰ τίνα τρόπον εἴη ἂν ἡ οὐσία ἐν ταῖς χωρισταῖς οὐσίαις, δηλονότι ἐν τῇ ψυχῇ, τῇ νοήσει καὶ τῇ πρώτῃ αἰτίᾳ. Εἰ δὲ καὶ τὴν πρώτην αἰτίαν ἁπλῆν εἶναι πάντες συγχωροῦσιν, ὅμως τὴν σύνθεσιν τῆς ὕλης καὶ τοῦ εἴδους τινὲς πειρῶνται ἐν ταῖς νοήσεσι καὶ ἐν τῇ ψυχῇ τιθέναι· ἧς δὴ συνθέσεως ποιητὴς δοκεῖ γεγονέναι Ἀβικεμπρών, ὁ ποιητὴς τοῦ βιβλίου τῆς πηγῆς τῆς ζωῆς. Τοῦτο δὲ τοῖς τῶν φιλοσόφων ῥητοῖς κοινῇ διαμάχεται, οἳ καὶ ἀπὸ τῆς ὕλης χωριστὰς [illegible] [illegible]μάf. 283v ζουσιν, καὶ χωρὶς εἶναι πάσης ὕλης ἀποδεικνύουσιν· | οὗ δὴ ἀπόδειξις ἡ μάλιστα ἰσχυρά ἐστιν ἐκ τῆς τοῦ νοεῖν δυνάμεως τῆς ἐν αὐταῖς οὔσης· ὁρῶμεν γὰρ τὰ εἴδη μὴ εἶναι νοητὰ ἐνεργείᾳ τῇ δυνάμει τῆς νοούσης οὐσίας, εἰ μὴ καθὸ χωρίζονται τῆς ὕλης καὶ τῶν ἰδιωμάτων αὐτῆς, οὐδὲ γίνονται νοητὰ ἐνεργείᾳ, εἰ μὴ τῇ δυνάμει τῆς νοούσης οὐσίας, καθὸ προσλαμβάνονται ἐν αὐτῇ καὶ καθὸ γίνονται δι' αὐτῆς. Ὅθεν δεῖ ἐν πάσῃ οὐσίᾳ νοούσῃ εἶναι ἀμεθεξίαν τῆς ὕλης, οὕτως ὥστε μήτε ἔχειν τὴν ὕλην μέρος αὐτῆς, μήτε ἔτι εἶναι ὥσπερ εἶδος ἐμπεπιεσμένον τῇ ὕλῃ, ὡς ἔχει ἐπὶ τῶν ἐνύλων εἰδῶν.

Οὐδὲ δυνατόν τινα λέγειν, ὅτι τὴν τοῦ νοεῖσθαι ἐπιτηδειότητα οὐκ ἐμποδίζει ὁποιαοῦν ὕλη, ἀλλὰ μόνον ἡ σωματικὴ ὕλη· εἰ γὰρ τοῦτο εἴη τῷ λόγῳ τῆς σωματικῆς ὕλης, ὅμως ἡ ὕλη μὴ λέγοιτο σωματική, εἰ μὴ καθὸ ἵσταται ὑπὸ εἴδει σωματικῷ, τότε δέοι ἂν τοῦτ' ἔχειν τὴν ὕλην, δηλονότι τὸ ἐμποδίζειν τὴν τοῦ νοεῖσθαι ἐπιτηδειότητα ἀπὸ τοῦ σωματικοῦ εἴδους, καὶ τοῦτο οὐ δύναται εἶναι, διότι καὶ ἡ ψυχὴ ἐνεργείᾳ νοητή ἐστιν ὥσπερ καὶ τὰ ἄλλα εἴδη, καθὸ ἀπὸ τῆς ὕλης ἀφαιρεῖται. Ὅθεν ἐν τῇ ψυχῇ ἢ τῇ νοήσει οὐδένα τρόπον ἐστὶ σύνθεσις ἐξ ὕλης καὶ εἴδους, ὥστε τοῦτον τὸν τρόπον λαμβάνεσθαι τὴν οὐσίαν ἐν αὐταῖς ὅνπερ κἀν ταῖς σωματικαῖς οὐσίαις, ἀλλ' ἔστιν ἐκεῖ σύνθεσις τοῦ εἴδους καὶ τοῦ εἶναι. Ὅθεν ἐπὶ τῇ ἐξηγήσει τῆς ἐννάτης προτάσεως τοῦ περὶ αἰτίων λέγεται,

---

4 *ἀπὸ* om CD 18-19 *ἡ μάλιστα* om D 24 *νοήσεως* CD 32 *ἡ ψυχή*: *τὸ ζῷον* CD

Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006